p. 465d. ὃ μὲν οὖν ἐγώ φημι.

νῦν ἄλλον ὁρισμὸν ἐκ τῶν εἰδώλων ἀπιδίδωσι λέγων, ὅτι ῥητορική ἐστιν ἀντίστροφος ὀψοποιίᾳ περὶ ψυχήν· ὃ γάρ ἐστιν ὀψοποιία ἐν σώματι, τοῦτο ῥητορικὴ ἐν ψυχῇ. ἰστέον δέ, ὅτι περὶ τῆς δημώδους λέγει, ἐπεὶ ἐν τῷ Φαίδρῳ τὴν ἀληθῆ τῇ ἰατρικῇ ἀντίστροφον λέγει. 13

p. 465e. ἴσως μὲν οὖν ἄτοπον.

ἰδοὺ ἀπολογεῖται διὰ τί μακρῷ λόγῳ ἐχρήσατο τὴν βραχυλογίαν φιλεῖν ἐπαγγειλάμενος. 14

p. 466a. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει.

εἰ ἔχεις, φησίν, τιποτὲ χρήσασθαι ταύτῃ τῇ ἀποκρίσει καὶ ἐναντιωθῆναι, χρῶ καὶ πειρῶ ἀντιλέγειν. 15

ὃ μὲν οὖν ἐγώ φημι. ὁ Πλάτων ἐνταῦθα κατακόρως τῷ Ἀττικῷ σχήματι κέχρηται, τῷ καλουμένῳ ἀμερίστῳ· ἀμέριστον δέ ἐστιν, ὅταν πολλοὶ μὲν λέγονται ΜΕΝ σύνδεσμοι, μηδαμοῦ δὲ ὁ ΔΕ. ὁ μὲν οὖν ἐγώ φημι· ἰδοὺ εἷς ΜΕΝ σύνδεσμος. ἴσως μὲν οὖν ἄτοπον· ἰδοὺ ἄλλος ΜΕΝ καὶ οὐδαμοῦ ὁ ΔΕ. ἄξιον μὲν οὖν μοι συγγνώμην· ἰδοὺ ἄλλος ΜΕΝ· τινὲς δὲ γράφουσιν ἄξιον μέντοι· κακῶς δέ· δεῖ γὰρ ἄξιον μὲν οὖν γράφειν. ἐὰν μὲν οὖν καὶ ἐγὼ σοῦ· ἰδοὺ καὶ ἄλλος ΜΕΝ σύνδεσμος. 16

## XV.

### Πρᾶξις σὺν θεῷ ιε΄.

p. 466a. τί οὖν φῄς; κολακεία δοκεῖ σοι.

ὁ σκοπὸς ὡς εἴρηται τοῦ διαλόγου ἐστὶν ἐπισκέψασθαι τὰς ἠθικὰς ἀρχὰς τῆς πολιτικῆς εὐδαιμονίας· εἴρηται τοίνυν, ὅτι οὐχ ἡ ῥητορικὴ ἀλλ' ὅτι ἡ πολιτικὴ ἐπιστήμη· ἰστέον τοίνυν, ὅτι διὰ μὲν τῶν προλαβόντων τὸ ποιητικὸν αἴτιον ἀποδέδοται, διὰ δὲ τούτων τὸ εἰδικὸν ζητοῦμεν· ἐπεὶ γὰρ εἴρηται, τί οὐκ ἔστιν ἡ ῥητορική, ἔδει εἰπεῖν καὶ τί ἐστιν· 1

5 Plat. Phaedr. 270b. cf. Herm. in Phaedr. p. 244, 19

14 mg. ση. τὸ ἀμέριστον σχῆμα ὁποῖον

11 χρήσασθαι **M**, cod. Plat. **F** χρῆσθαι codd. Plat. **BP** 18 μοι **M**, cod. Plat. **F** ἐμοὶ codd. Plat. **BT**